ΠΟΛΥΝΕΙΚΗΣ.

οἴμοι, τί δράσω; πότερα τἀμαυτοῦ κακὰ
πρόσθεν δακρύσω, παῖδες, ἢ τὰ τοῦδ' ὁρῶν
ἀνδρὸς γέροντος; ὃν ξένης ἐπὶ χθονὸς
σὺν σφῷν ἐφηύρηκ' ἐνθάδ' ἐκβεβλημένον
ἐσθῆτι σὺν τοιᾷδε, τῆς ὁ δυσφιλὴς
γέρων γέροντι συγκατῴκηκεν πίνος
πλευρὰν μαραίνων, κρατὶ δ' ὀμματοστερεῖ
κόμη δι' αὔρας ἀκτένιστος ᾄσσεται·
ἀδελφὰ δ', ὡς ἔοικε, τούτοισιν φορεῖ
τὰ τῆς ταλαίνης νηδύος θρεπτήρια.
ἁγὼ πανώλης ὄψ' ἄγαν ἐκμανθάνω,
καὶ μαρτυρῶ κάκιστος ἀνθρώπων τροφαῖς
ταῖς σαῖσιν ἥκειν· τἀμὰ μὴ 'ξ ἄλλων πύθῃ.
ἀλλ' ἔστι γάρ τοι Ζηνὶ σύνθακος θρόνων
Αἰδὼς ἐπ' ἔργοις πᾶσι, καὶ πρὸς σοὶ, πάτερ,
παρασταθήτω· τῶν γὰρ ἡμαρτημένων
ἄκη μὲν ἔστι, προσφορὰ δ' οὐκ ἔστ' ἔτι.
τί σιγᾷς;
φώνησον, ὦ πάτερ, τι· μή μ' ἀποστραφῇς.
οὐδ' ἀταμείψει μ' οὐδέν; ἀλλ' ἀτιμάσας
πέμψεις ἄναυδος, οὐδ' ἃ μηνίεις φράσας;
ὦ σπέρματ' ἀνδρὸς τοῦδ', ἐμαὶ δ' ὁμαίμονες,

1256. Additus in L. a m. rec. *πατρὸς*] Qu. *ἀνδρός*.

1257. *σὺν* mss. *ξὺν* vulg. Herw. *ἐφεύρηκ'* mss. *ἐφηύρηκ'* Dind.

1259. *πόνος* mss. *πίνος* Scal. Reisk.

1260. *μαραίνων*] *μιαίνων* (inquinans) Herw.

1262. *τούτοισιν*] Qu. *τούτων αὖ* (aut *δή*). Cf. Ant. 192. *ἀδελφὰ τῶνδε*. Plat. Phaedr. 276 D. *ὅσα τούτων ἀδελφά*. Resp. VIII. 558 C. *τούτων ἄλλα ἀδελφά*. Soph. 224 B. et alibi. Sed cum dativo Tim. 67 E. Conv. 210 B. *τούτοισιν φορεῖ*] *τοῖσδε συμφέρει* conj. Bl. Qu. *τούτοισιν πρέπει*.

1266. *ἥκειν*] Fort. *εἶναι*. *τἄλλα* mss. *τἀμὰ* Reisk. Qu. *ταῦτα*.

1267. *γὰρ καὶ* mss. Dedi *γάρ τοι*.

1268. *καὶ πρὸς σοὶ, πάτερ* mss. Qu. *καὶ σοί γ', ὦ πάτερ*, aut *καὶ σοὶ πρὸς* (insuper), *πάτερ*. *σοὶ* A. K. L. *σοῦ* B. et (sup. *σοὶ*) T.

1270. *προσφορὰ*] Qu. *προσβολή*.

1273. *ἀνταμείβει* mss. Dedi *ἀνταμείψει* propter sequens *πέμψεις*.